ἀλλὰ μᾶλλον τὸ τοῦ Φιλίππου λογιζόμενος· πεσὼν γὰρ ἐν παλαίστρᾳ καὶ μεταστραφείς, ὡς εἶδε τοῦ σώματος τὸν τύπον, ‘ὦ Ἡράκλεις,’ εἶπεν ‘ὡς μικροῦ μέρους τῆς γῆς φύσει μετέχοντες ὅλης ἐφιέμεθα τῆς οἰκουμένης.’

**9.** Οἶμαί σε τῆς Νάξου γεγονέναι θεατήν, εἰ δὲ μή, τῆς γ’ Οὐρίας ἐνταῦθα πλησίον οὔσης· ἀλλ’ ἐκείνη μὲν ἐχώρει τὸν Ἐφιάλτην καὶ τὸν Ὦτον, αὕτη δὲ τοῦ Ὠρίωνος ἦν οἰκητήριον. ὁ δ’ Ἀλκμαίων ἰλὺν νεοπαγῆ τοῦ Ἀχελῴου προσχωννύντος ἐπῴκησεν ὑποφεύγων τὰς Εὐμενίδας, ὡς
E οἱ ποιηταὶ λέγουσιν, ἐγὼ δὲ κἀκεῖνον εἰκάζω φεύγοντα πολιτικὰς ταραχὰς καὶ στάσεις καὶ συκοφαντίας ἐρινυώδεις ἑλέσθαι βραχὺ χωρίον ἀπραγμόνως ἐν ἡσυχίᾳ κατοικεῖν. Τιβέριος δὲ Καῖσαρ ἐν Καπρέαις ἑπτὰ ἔτη διῃτήθη μέχρι τῆς τελευτῆς, καὶ τὸ τῆς οἰκουμένης ἡγεμονικὸν [ἱερὸν] ὥσπερ εἰς καρδίαν συνηγμένον οὐδαμοῦ μετέστη τοσοῦτον χρόνον. ἀλλ’ ἐκείνῳ μὲν αἱ τῆς ἡγεμονίας φροντίδες ἐπιχεόμεναι καὶ προσφερόμεναι πανταχόθεν οὐ καθαρὰν παρεῖχον οὐδ’ ἀκύμονα τὴν νησιῶτιν ἡσυχίαν· ᾧ δ’ ἔξεστιν
F εἰς μικρὰν ἀποβάντι νῆσον οὐ μικρῶν ἀπηλλάχθαι κακῶν, οὗτος ἄθλιός ἐστι μὴ προσλαλῶν ἑαυτῷ τὰ Πινδαρικὰ μηδ’ ἐπᾴδων πολλάκις (fr. 154 = Paean IV 50 sqq.)

‘ἔα, φρήν, κυπάρισσον [φιλέειν], ἔα δὲ νομὸν [Κρήτας] περιδάιον.
ἐμοὶ δ’ ὀλίγον μὲν γᾶς δέδοται, †ὅθεν ἄδρυς, πενθέων
δ’ οὐκ ἔλαχον ⟨οὐδὲ⟩ στασίων’

οὐδὲ προσταγμάτων ἡγεμονικῶν οὐδ’ ὑπουργιῶν ἐν πολιτικαῖς χρείαις καὶ λειτουργιῶν δυσπαραιτήτων. (**10.**) ὅπου γὰρ οὐ φαύλως δοκεῖ λέγειν ὁ Καλλίμαχος (fr. 481 = Pap. Ox. XVII 2079, 18) τό ‘μὴ σχοίνῳ Περσίδι τὴν σοφίην,’